29 σου τοῦτό ἐστι. [29]σύ, βασιλεῦ, κατακλιθεὶς ἐπὶ τῆς κοίτης σου 𝔊
ἑώρακας πάντα, ὅσα δεῖ γενέσθαι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, καὶ ὁ
30 ἀνακαλύπτων μυστήρια ἐδήλωσέ σοι ἃ δεῖ γενέσθαι. [30]κἀμοὶ δὲ
οὐ παρὰ τὴν σοφίαν τὴν οὖσαν ἐν ἐμοὶ ὑπὲρ πάντας τοὺς ἀνθρώ-
πους τὸ μυστήριον τοῦτο ἐξεφάνθη, ἀλλ᾽ ἕνεκεν τοῦ δηλωθῆναι τῷ
31 βασιλεῖ ἐσημάνθη μοι ἃ ὑπέλαβες τῇ καρδίᾳ σου ἐν γνώσει. [31]καὶ
σύ, βασιλεῦ, ἑώρακας, καὶ ἰδοὺ εἰκὼν μία, καὶ ἦν ἡ εἰκὼν ἐκείνη
μεγάλη σφόδρα, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστήκει ἐναντίον
32 σου, καὶ ἡ πρόσοψις τῆς εἰκόνος φοβερά· [32]καὶ ἦν ἡ κεφαλὴ αὐ-
τῆς ἀπὸ χρυσίου χρηστοῦ, τὸ στῆθος καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ
33 κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, [33]τὰ δὲ σκέλη σιδηρᾶ, οἱ πόδες μέρος
34 μέν τι σιδήρου, μέρος δέ τι ὀστράκινον. [34]ἑώρακας ἕως ὅτου ἐ-
τμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς
35 πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους καὶ κατήλεσεν αὐτά. [35]τότε
λεπτὰ ἐγένετο ἅμα ὁ σίδηρος καὶ τὸ ὄστρακον καὶ ὁ χαλκὸς καὶ
ὁ ἄργυρος καὶ τὸ χρυσίον καὶ ἐγένετο ὡσεὶ λεπτότερον ἀχύρου ἐν
ἅλωνι, καὶ ἐρρίπισεν αὐτὰ ὁ ἄνεμος ὥστε μηδὲν καταλειφθῆναι
ἐξ αὐτῶν· καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο ὄρος μέγα

29 ο > 88 || 31 εστηκει: cf. Thack. p. 201

---

29 λῆς σου ἐπὶ τῆς κοίτης σου τοῦτό ἐστιν. [29]σὺ βασιλεῦ, οἱ διαλο- θ'
γισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν τί δεῖ γενέσθαι μετὰ
ταῦτα, καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐγνώρισέν σοι ἃ δεῖ γενέσθαι.
30 [30]καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς
ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ᾽ ἕνεκεν τοῦ τὴν
σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας
31 σου γνῷς. [31]σύ, βασιλεῦ, ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, μεγάλη ἡ
εἰκὼν ἐκείνη καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερής, ἑστῶσα πρὸ προσ-
32 ώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά· [32]ἡ εἰκών, ἧς ἡ κεφαλὴ
χρυσίου χρηστοῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς
33 ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, [33]αἱ κνῆμαι σιδηραῖ, οἱ
34 πόδες μέρος τι σιδηροῦν καὶ μέρος τι ὀστράκινον. [34]ἐθεώρεις, ἕως
οὗ ἐτμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξεν τὴν εἰκόνα
ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους καὶ ἐλέπτυνεν αὐ-
35 τοὺς εἰς τέλος. [35]τότε ἐλεπτύνθησαν εἰς ἅπαξ τὸ ὄστρακον, ὁ σί-
δηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσὸς καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς

29 συ > B | βασ.] + εθεωρεις A†: ex 31 || 30 δε > A | τουτο > A | τω βασ./γνωρ.] tr. B† || 31 προσοψις] προσ > AC† || 32 η 1° > B | χρηστου] καθαρου ABc || 33 μερος ... και μερος] μερος μεν ... μερος δε A: cf. 41. 42 | τι ult. > B || 34 ου > B | ετμηθη (cf. 45)] απεσχισθη B | αυτους > B*Q† || 35 το οστρ./ο σιδ. (cf. 45)] tr. A | εγενοντο] εγενετο B